ἐθνῶν καὶ καταστρέψω ἅρματα καὶ ἀναβάτας, καὶ καταβήσονται
ἵπποι καὶ ἀναβάται αὐτῶν ἕκαστος ἐν ῥομφαίᾳ πρὸς τὸν ἀδελφὸν
αὐτοῦ. [23] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, λήμψομαί 23
σε Ζοροβαβελ τὸν τοῦ Σαλαθιηλ τὸν δοῦλόν μου, λέγει κύριος,
καὶ θήσομαί σε ὡς σφραγῖδα, διότι σὲ ᾑρέτισα, λέγει κύριος παν-
τοκράτωρ.

22 αναβατας] + αυτων S$^{c}$†; + και καταστρεψω πασαν την δυναμιν αυτων και καταβαλω τα ορια αυτων και ενισχυσω τους εκλεκτους μου A | καταβησονται] αναβ. A*L* || 23 σε 1$^{0}$ > S*W† | ως] εις A | διοτι] οτι A† | ηρετισαμην S$^{c}$

Subscr. αγγαιος ι′ BSA: cf. inscr.

## ΖΑΧΑΡΙΑΣ

[1] Ἐν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου ἐπὶ Δαρείου ἐγένετο λόγος 1
κυρίου πρὸς Ζαχαριαν τὸν τοῦ Βαραχιου υἱὸν Αδδω τὸν προφήτην
λέγων [2] Ὠργίσθη κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην. 2
[3] καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει κύριος παντοκράτωρ Ἐπιστρέ- 3
ψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει κύριος. [4] καὶ 4
μὴ γίνεσθε καθὼς οἱ πατέρες ὑμῶν, οἷς ἐνεκάλεσαν αὐτοῖς οἱ προ-
φῆται οἱ ἔμπροσθεν λέγοντες Τάδε λέγει κύριος παντοκράτωρ Ἀπο-
στρέψατε ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν καὶ ἀπὸ τῶν ἐπιτη-
δευμάτων ὑμῶν τῶν πονηρῶν, καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί
μου, λέγει κύριος. [5] οἱ πατέρες ὑμῶν ποῦ εἰσιν; καὶ οἱ προφῆται 5
μὴ τὸν αἰῶνα ζήσονται; [6] πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου 6
δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις μου
τοῖς προφήταις, οἳ κατελάβοσαν τοὺς πατέρας ὑμῶν. καὶ ἀπεκρίθη-
σαν καὶ εἶπαν Καθὼς παρατέτακται κύριος παντοκράτωρ τοῦ ποιῆσαι
κατὰ τὰς ὁδοὺς ὑμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ὑμῶν, οὕτως ἐποί-
ησεν ὑμῖν.

[7] Τῇ τετράδι καὶ εἰκάδι τῷ ἑνδεκάτῳ μηνί — οὗτός ἐστιν ὁ μὴν 7
Σαβατ — ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου ἐγένετο λόγος κυρίου πρὸς
Ζαχαριαν τὸν τοῦ Βαραχιου υἱὸν Αδδω τὸν προφήτην λέγων [8] Ἑώ- 8
ρακα τὴν νύκτα καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ ἵππον πυρρόν, καὶ

Zach.: BSA. — de QW*LC* cf. Os.

Inscr.: ζαχαριας ια′ BA, ζαχαριας S$^{s}$: cf. Os. inscr.

1 2 υμων] ημ. A† || 3 με QW] + λεγει κυριος των δυναμεων BA*LC* (in *O* sub ※): eadem hab. uel hoc loco uel in fine uersus S, qui haec confuse scripsit | fin. W] + των δυναμεων B*LC* (in *O* sub ※; de S cf. sup.); + παντοκρατωρ AQ || 4 οι 3$^{0}$ > BS**L*$^{p}$† | και ου προσεσχον AQW] pr. και ουκ εισηκουσαν BS*L*(om. εισ)*C* || 6 ποιησαι AQW] + ημιν BS$^{c}$*LC*, + υμιν S*V† | υμων paenult. et ult. et υμιν AQW] ημ. BS*LC*